www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ

# ΜΑΚΑΡΙΟΝ ΤΟΝ ΝΟΤΑΡΑΝ

## ΜΗΤΡΟΠΟΛΙΤΗΝ ΚΟΡΙΝΘΟΥ

**Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ΙΖ΄ Ἀπριλίου.**

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

---

**Εὐλογήσαντος τοῦ Ἱερέως τὸ Κύριε εἰσάκουσον, μεθ' ὃ τὸ Θεὸς Κύριος, ὡς συνήθως, καὶ τὸ ἑξῆς·**

**Ἦχος πλ. δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Τὸν θεῖον κήρυκα πατρῴων δογμάτων
καὶ τῆς Κορίνθου θεαυγῆ ἱεράρχην,
ὁσίων ὡς καλλώπισμα καὶ νέον πυρσὸν
φιλοκάλων μέλψωμεν, τὸν τῇ κλήσει καὶ δόξῃ
ἀληθῶς Μακάριον, ἐκτενῶς δυσωποῦντες
αὐτὸν ὑπὲρ στηρίξεως ἡμῶν
ἐν θεμελίῳ ἀσείστῳ τῆς πίστεως.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσομεν ποτέ, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι.

Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων;
Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

**Εἶτα ὁ Ν΄ Ψαλμὸς καὶ ὁ Κανὼν, οὗ ἡ ἀκροστιχίς·**

**" Μακάριε, φιλοκάλους ἡμᾶς ἀνάδειξον. Χ. Μ. "**

**ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.**

Μακάριε ὄντως ἀρχιερεῦ
Κορίνθου, ἱκέτας

www.tezaurliturgic.ro

καταξίωσον σοὺς θερμοὺς
μακάρων τῆς δόξης ἀπολαύειν
ἐν οὐρανῶν τοῖς παμφώτοις σκηνώμασιν.

Ἁγίασον πάντας σαῖς προσευχαῖς,
Μακάριε ὄντως,
σοὶ προσφεύγοντας καὶ λαμπρῶς
ὑμνοῦντάς σε ὡς τοῦ φιλοκάλου
πνευματικὸν ἀρχηγέτην κινήματος.

Καλλίστων ἀγώνων πρὸς ἀρετῆς
τὴν κτῆσιν ἱκέτας
σοὺς κατεύθυνον, θαυμαστὲ
Μακάριε, τοὺς ἀνευφημοῦντας
τὴν ἀκραιφνῆ σου καὶ ἄμεμπτον βίωσιν.

**Θεοτοκίον.**

Ἁγνὴ Θεοτόκε, τὸν σκοτασμὸν
ἡμῶν χαμαιζήλων
ἀποδίωξον σαῖς εὐχαῖς
παθῶν καὶ πρὸς φέγγος ἀπαθείας
σοὺς εὐλαβεῖς ὑμνηπόλους κατεύθυνον.

**Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.**

Ῥαντισμῷ προσευχῶν σου
ῥύπον ἡμῶν κάθαρον
λογισμῶν ἀτάκτων, Κορίνθου
πάνσεπτον κόσμημα
φωσφόρων ἱεραρχῶν,
ὁ δάκρυσί σου λευκάνας
σῆς ψυχῆς ἱμάτιον,
ὄντως Μακάριε.

Ἱεράρχα Κορίνθου,
περικλεὲς βλάστημα
τῶν Τρικάλων καὶ πανωραῖον
Χίου ἐντρύφημα,
μὴ διαλίπῃς Χριστὸν
ὑπὲρ ἡμῶν ἱκετεύων

www.tezaurliturgic.ro

ἀνυμνούντων πόθους σου
θείους, Μακάριε.

Ἐφορῶν μὴ ἐλλίπης
τοὺς εὐλαβῶς σπεύδοντας
προσκυνῆσαι τάφον σου θεῖον,
πάτερ Μακάριε,
ἐν Χίῳ, ἣν ἀκλινῶς
ἐξ ὕψους θείας σου δόξης
ἐποπτεύεις πάντοτε,
θεομακάριστε.

Θεοτοκίον.

Φωτοφόρε νεφέλη,
χριστιανοὺς σκέπουσα
καὶ καθοδηγοῦσα πρὸς τρίβους
αἰωνιότητος,
Παρθένε, Μῆτερ Χριστοῦ
σεπταῖς λιταῖς Μακαρίου,
εὔθυνον τῶν δούλων σου
δρόμον πρὸς θέωσιν.

Μακάριε,
πρὸς οὐρανίους μακάρων ἡμᾶς σκηνώσεις
καθοδήγει τοὺς εὐλαβῶς σῇ χάριτι σπεύδοντας,
σεπτὸν ταπεινώσεως ἐκμαγεῖον.

Ἐπίβλεψον
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.
Ἦχος β΄. Πρεσβεία θερμή.

Αἰγαίου φρουρέ, Κορίνθου θεῖε πρόεδρε,
δογμάτων ὀρθῶν ὑπέρμαχε καὶ πάνσεπτον
κέρας ταπεινώσεως,
τὸν Χριστὸν δυσώπει, Μακάριε,
ὑπὲρ ἡμῶν τιμώντων εὐλαβῶς
ψυχῆς φιλοκάλου σου τὸ εὔτονον.

www.tezaurliturgic.ro

**Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.**

Ἱεράρχα Μακάριε,
ἀκτησίας μέλαθρον καὶ ἀνάκτορον
συμπαθείας πρὸς τοὺς κάμνοντας,
σκέπε ὀρθοδόξων δήμους πάντοτε.

Λυπηρῶν τὴν σκοτόμαιναν
τῶν καταφευγόντων τῇ ἀντιλήψει σου
διασκέδασον, Μακάριε,
ἀστραπαῖς ἐνθέρμων σου δεήσεων.

Ὁδοδείκτης, Μακάριε,
πεφηνὼς ἀζύγων χοροῦ πρὸς θέωσιν,
δεῖξον δρόμον σωτηρίας μοι,
τῷ ἐκδεχομένῳ τὴν σὴν εὔνοιαν.

**Θεοτοκίον.**

Κοίμισόν μου χαμαίζηλα
πάθη, Θεοτόκε, θερμὴ ἀκέστορ μου,
καὶ πρὸς αἴνεσιν τοῦ Τόκου σου
ἔγειρόν με τάχος, μητροπάρθενε.

**Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.**

Ἄσμασι τερπνοῖς
ἀνυμνοῦμέν σε, Μακάριε,
καὶ προστρέχομεν ἐν βίου τοῖς δεινοῖς
σαῖς λιταῖς πρὸς τὸν φιλεύσπλαγχνον Παντάνακτα.

Λάμψον μοι τὸ φῶς
τῆς πρὸς πέλας ἀγαπήσεως,
συμπαθείας καὶ ἀγάπης φρυκτωρέ,
ἱεράρχα παναοίδιμε, Μακάριε.

Ὄμβρισον ἡμῖν
ὑετὸν χαρᾶς, Μακάριε,
καὶ τῶν θλίψεων διάλυσον ἡμῶν
ῥύπον ῥείθροις ῥυπτικοῖς σῶν παρακλήσεων.

**Θεοτοκίον.**

www.tezaurliturgic.ro

Ὕμνοις μελιχροῖς
καταστέφομέν σε πάντοτε
οἱ προσφεύγοντες τῇ σῇ ἐπισκοπῇ
ἐν ἀνάγκαις, ἀγαθὴ Θεογεννήτρια.

Ὠδὴ στ΄. Τὴν δέησιν.

Συνέσεως, ἀκτησίας, νήψεως,
ταπεινώσεως, εὐχῆς καὶ νηστείας
κανὼν σὺν σῷ συγγενεῖ Γερασίμῳ,
Κεφαλληνίας τῷ εὔχει, ἀνάδειξον,
Μακάριε, σοὺς ὑμνητὰς
ἀρετῶν ὁμοζήλους τῶν θείων σου.

Ἡγίασας ῥείθροις τῶν ἱδρώτων σου
Ὕδραν, Πάτμον, Ἰκαρίαν καὶ Χίον
καὶ τὴν Λειψὼ καὶ τὴν Σάμον, θεόφρον
ἀρχιερεῦ τῆς Κορίνθου, Μακάριε,
ὁ δαψιλῶς ἁγιασμοῦ
καταπέμπων ἡμῖν ὄμβρον ἄνωθεν.

Μνημόνευε τῶν πιστῶς, Μακάριε,
ἀνυμνούντων σε σὺν Νήφωνι θείῳ,
Ἁγιορείτῃ σοφῷ, Νικοδήμῳ,
Ἀθανασίῳ, τῆς Πάρου βλαστήματι,
καὶ Νικηφόρῳ, τιμαλφῶν
εὐσεβείας μαργάρων, θειότατε.

Θεοτοκίον.

Ἀγλάϊσμα Ἐκκλησίας πάνσεπτον
καὶ ὡράϊσμα πιστῶν, Θεοτόκε,
τῶν ἐν ταῖς θλίψεσι παραμυθία
καὶ τῶν ἐν νόσοις ταχίστη ἰάτειρα,
τοῦ Μακαρίου προσευχαῖς
τοῦ ὁσίου, σοὺς δούλους περίσκεπε.

Μακάριε,
πρὸς οὐρανίους μακάρων ἡμᾶς σκηνώσεις
καθοδήγει τοὺς εὐλαβῶς σῇ χάριτι σπεύδοντας,
σεπτὸν ταπεινώσεως ἐκμαγεῖον.

www.tezaurliturgic.ro

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως
ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον.
Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.

Τὸν θεοπρόβλητον ὄντως Μακάριον,
ἀρχιερέα Κορίνθου τιμήσωμεν
καὶ τὰς πρεσβείας αὐτοῦ ἐκζητήσωμεν
πρὸς τὸν εὐΐλατον Κτίστην καὶ Κύριον,
ἵνα θεώσεως ἅπαντες τύχωμεν.

Προκείμενον. Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.
Στίχος. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.

Εὐαγγέλιον κατὰ Ἰωάννην ( Κεφ. ι΄ 9 -16 ).
Εἶπεν ὁ Κύριος· Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται...
Ὅρα εἰς τὴν Λειτουργίαν τῆς ΙΓ΄ Νοεμβρίου.

Δόξα. Ταῖς τοῦ Ἱεράρχου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Προσόμοιον. Ἦχος πλ β΄. Ὅλην ἀποθέμενοι.

Στίχος. Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἱεράρχα ὅσιε,
κανὼν πατρῴων δογμάτων,
ἡσυχίας ἄγαλμα,
λύχνε ταπεινώσεως
θεοφώτιστε,
ἀρετῆς ἔκτυπον,
ἀκτησίας βάθρον,
καὶ ἀγάπης πρὸς τοὺς πάσχοντας
καὶ χρείαν ἔχοντας

www.tezaurliturgic.ro

σέμνωμα, Μακάριε, πρόσδεξαι
ἡμῶν τῶν προστρεχόντων σοι
τὰς δεήσεις καὶ πρὸς τὸν Κύριον
καὶ Θεὸν τῶν ὅλων
προσάγαγε αὐτάς, θεοειδὲς
ἐγκρατευτὰ καὶ φιλόκαλε
ἡσυχίας πρόβολε.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...

**Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Σοῦ τὸν πάνσεπτον τάφον
ἐν τῇ νήσῳ τῆς Χίου
κατασπαζόμενοι
καὶ θήκην σῶν τιμίων,
Μακάριε, λειψάνων
εὐλαβῶς προσπτυσσόμενοι
ἀντλοῦμεν ἁγιασμὸν
ὡς ἐκ πηγῆς ἀφθόνου.

Ἀγλαόμορφε πάτερ,
μαθηταῖς σου ἀπαύστως
ὁ ὑφηγούμενος,
Μακάριε θεόφρον,
Κορίνθου ἱεράρχα,
μυστηρίων μετάληψιν
ἀχράντων τὴν συνεχῆ,
ἡμῶν προστάτης ἴσθι.

Νικηφόρον τον Χίον
ἔχων συμπαραστάτην,
τὸν Ἀθανάσιον,
ἐκ χώρας Ἀρμενίας,
Γρηγόριον, Νισύρου
τὸν βλαστὸν καὶ τὸν Νήφωνα,
Μακάριε, σὺν αὐτοῖς
πιστοὺς κατεποπτεύεις.

**Θεοτοκίον.**

Ἀειπάρθενε Μῆτερ,
Μακαρίου πρεσβείαις

www.tezaurliturgic.ro

τοῦ οὐρανόφρονος
Κορίνθου ἱεράρχου
κινδύνων κατωδύνων,
πειρασμῶν καὶ στενώσεων
ῥῦσαι τοὺς σὲ ἀκλινῶς
ὑμνοῦντας εἰς αἰῶνας.

**Ὠδὴ η΄. Τὸν Βασιλέα.**

Δύναμιν θείαν
λαβὼν θεόθεν ἱκέτας
τοὺς τιμίους σου στήριζε, πάτερ,
ἄκρας προστασίας,
Μακάριε, σῷ βάκτρῳ.

Ἕτοιμος ῥύστης
καὶ ταχινὸς ἀντιλήπτωρ,
τῶν προσφύγων σου πέλεις, τρισμάκαρ,
κράζομεν, προΐστορ,
Μακάριε, Κορίνθου.

Ἴσθι ἀκέστωρ
καὶ ἀρωγὸς καὶ συλλήπτωρ
τῶν θερμῶς ἐκζητούντων σὴν χάριν,
ἱεράρχα σῶφρον,
Μακάριε, καὶ πρᾶε.

**Θεοτοκίον.**

Ξενίας πάντας
δεσποτικῆς σοὺς οἰκέτας
ἐν τῇ ἄνω ἀξίωσον πόλει,
Κεχαριτωμένη,
Κυρία Θεοτόκε.

**Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.**

Οἱ τῶν εὐσεβοφρόνων
δῆμοι τὸν σὸν τάφον
κατασπαζόμενοι τὸν χαριτόβρυτον
σὰς πρὸς Θεὸν ἐκζητοῦμεν λιτάς, Μακάριε.

www.tezaurliturgic.ro

Νικήτορας ἐν μάχαις
καθ' ἡμέρας δεῖξον
κατ' ἀρχεκάκου, Μακάριε, δράκοντος,
τοὺς σὲ τιμῶντας ὡς στῦλον στεῤῥὸν τῆς πίστεως.

Χαρᾶς ἀδιαλείπτου
καταξίωσόν με,
τὸν σὲ τιμῶντα ἐκθύμως, Μακάριε,
Λειμωναρίου συντάκτην ὡς θεοφώτιστον.

**Θεοτοκίον.**

Μαρία, τοῦ Δεσπότου
Μῆτερ γλυκυτάτη,
τοῦ Μακαρίου ἐνθέρμοις ἐντεύξεσι
ῥῦσαι παθῶν κατωδύνων τοὺς ἀνυμνοῦντάς σε.

Ἄξιόν ἐστι.... **καὶ τὰ παρόντα Μεγαλυνάρια.**

Ἄθωνος τὸ ὄρος καταλιπὼν
ᾤκησας τὴν Ὕδραν,
Ἰκαρίαν, Πάτμον, Λειψώ,
Σάμον καὶ ἐν τέλει
τὴν μυροβόλον Χίον,
ἐν ᾗ σοῦ προσκυνοῦμεν
τάφον, Μακάριε.

Ἔχων παῤῥησίαν πρὸς τὸν Θεὸν
ὡς ἱεροφάντωρ
ὁσιώτατος ἐκτενῶς
πρέσβευε διδόναι
ἡμῖν τοῖς σὲ τιμῶσιν
ὑγίειαν κατ' ἄμφω,
θεῖε Μακάριε.

Τὸν τῆς ἡσυχίας καθηγητήν,
φίλον Νικοδήμου
Ἀθωνίτου, τοῦ παμφαοῦς,
καὶ Ἀθανασίου
Παρίου καθηκόντως
τιμήσωμεν εὐτάκτοις
ὕμνοις Μακάριον.

www.tezaurliturgic.ro

Χαίροις, πρὸς μαρτύριον ἰθυντὴρ
Μάρκου, Πολυδώρου,
Δημητρίου τοῦ εὐσταλοῦς
καὶ τοῦ Θεοδώρου,
τὴν κλῆσιν Βυζαντίου
κατέχοντος, πατέρων
εὖχος, Μακάριε.

Χαίροις, ὡραιότης ἱεραρχῶν,
χαίροις, Γερασίμου
τοῦ ὁσίου ὁ συγγενής,
χαίροις, δι᾽ ἀγάπην
χρεώγραφα ὁ σχίσας
ὀφειλετῶν σου, πάτερ,
ὄντως Μακάριε.

Χαίροις, ὁ Αἰγαῖος ὀνομασθεὶς
ἱεράρχης, σῶφρον
ἀρχιθῦτα καὶ θεαυγὲς
ἄνερ, τῶν πατρώων
δογμάτων στυλοβάτα,
Μακάριε, ὁσίων
νέων ὡράϊσμα.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι πάντες,
μετὰ τῆς Θεοτόκου
ποιήσατε πρεσβείαν
εἰς τὸ σωθῆναι ἡμᾶς.

**Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**
**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Ἱεράρχην Κορίνθου τὸν ἐνθεώτατον
καὶ καινιστὴν ἰδεώδους
μοναχικοῦ εὐλαβῶς
ἐπαινέσωμεν, πιστοί, σεπτὸν Μακάριον,
ὡς ταπεινώσεως φανόν,
ἀκτησίας φρυκτωρὸν

www.tezaurliturgic.ro

καὶ αὔγασμα συμπαθείας
βοῶντες· φώτισον σκότη
τῶν καρδιῶν ἡμῶν πρεσβείαις σου.

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς·
Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.

Λύχνε ἀκτησίας φωταυγές,
φάρε ταπεινώσεως θεῖε,
ὀρθῶν δογμάτων πυρσὲ
καὶ φανὲ χρηστότητος,
λαμπρὲ Μακάριε,
ἡσυχίας κεφάλαιον
καὶ νήψεως στήλη,
σκοτομήνην διώξον
ἐνύλων σχέσεων
πάντων τῶν πιστῶς σε τιμώντων,
ἵνα φωτισθῶμεν λιταῖς σου
πρὸς τὸν Φωτοδότην Παντοκράτορα.

Δέσποινα, πρόσδεξαι
τὰς δεήσεις τῶν δούλων σου
καὶ λύτρωσαι ἡμᾶς
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δίστιχον.

Μακάρων χοροῖς συναρίθμησον, ὄντως
Μακάριε, ἱκέτην σόν, Χαραλάμπη.

ΤΕΛΟΣ

ΚΑΙ ΔΟΞΑ

ΤΩ ΜΟΝΩ ΑΛΗΘΙΝΩ

ΘΕΩ ΗΜΩΝ